γάμου κατηγορεῖς, ἃ πραγματεύεται θάνατος; τί δὲ ὑμεναίων ἐρεῖς, ὅσα φύσις ἐπίσταται; συγχώρει πεσεῖν τὸν ὅπως πεσεῖται γενόμενον. εἰ δὲ πίπτουσι μὲν ὅτι γεγόνασιν ἄνθρωποι, πεσὼν δὲ χηρεύει μὲν σύνοικον, ὀρφανὸν δὲ παρασκευάζει τὸν ἐξ αὐτοῦ, τί γάμον ἐρεῖς ἀπεργάζεσθαι τὰ παρὰ μόνης γεγονότα τῆς φύσεως; Ἐγὼ δὲ αὖ τοὐναντίον γάμον ἐπανορθοῦσθαι καὶ ὀρφανίαν καὶ χηρείαν ἡγοῦμαι. τέθνηκέ τῳ πατὴρ καὶ ταύτῃ παῖς ὀρφανός· ἀλλ' ἕτερον ἐπεισήνεγκε πατέρα τοῖς ὀρφανοῖς ὁ γάμος καὶ τὸ πάθος γάμου μὲν οὐ προέρχεται, γάμῳ δὲ συγκαλύπτεται, καὶ γίνεται γάμος ὀρφανίας ἀφανισμός, οὐχ ὑπόθεσις. εἶτα χηρείαν ἐκ τελευτῆς μὲν ἦγεν ἡ φύσις, ἐξ ὑμεναίων δὲ μετέθηκε γάμος· ἣν γὰρ χηρεύειν εἰργάσατο θάνατος, ἀνδρὶ συνοικεῖν παρέσχεν ὁ γάμος, ὥσπερ καταστὰς φύλαξ τῆς αὐτοῦ χάριτος· ἃ γὰρ ἐξ ἀρχῆς εἰσηνέγκατο, παρῃρημένα πάλιν ἐπέδωκεν· ὥστε χηρείαν ἀναιρεῖν, οὐκ ἐπάγειν οἶδεν ὁ γάμος. καὶ μὴν καὶ πατὴρ θανάτῳ μὲν ἀφαιρεῖται παῖδας, γάμῳ δὲ μετέσχεν ἑτέρων, καὶ πατὴρ γίνεται δεύτερον ὁ προσάπαξ εἶναι μὴ συγχωρούμενος. Τί οὖν; τὰ τοῦ γάμου καλὰ πρὸς αἰτίαν μεταφέρεις τοῦ γάμου, καί μοι δοκεῖς οὐκ ἐλέγξαι ζητεῖν ἀλλ' ἐπαινεῖν τὸν ὑμέναιον· οἷς γὰρ ἐξαριθμεῖν καταναγκάζεις τῶν ὑμεναίων τὰς χάριτας, τούτοις ἐπαινέτης, οὐ κατήγορος τοῦ γάμου γεγένησαι· πρὸς

---

1 δαὶ VcAc post δὲ annotat Portus: ἴσως καθ' ὑμενα⌊ίω m.2 ex ῖο⌉ν Vc 2 ⌊ἡ φύσις er.⌉ συγχ⌊ώρει ex ωρεῖ, m.po.?⌉ Vc 3 πεσεῖ⌊ται m.po.⌉ Vc 4 δέ τις Ba, (τις m.2 add.) Vc χηρεύει PaBaAc, (ν m.po. add.) Pc χηρεύειν Vc 5 ἑαυτοῦ Ba 6 τῆς om. Ba 7 καὶ P om. V 8 ταύτη⌊ι⌉ BaAc 10 ὁ γάμος ante πατέρα Vδ 11 γίγνεται Vc 12 χηρειας VcBa, (ν m.1 supr.) Pa χηρείαν PcAc μὲν ante ἐκ transp. Ba 12.13 ἡ φύσις ἦγεν Pc 16 ^ε^ἀπέδωκεν, ε m.1 supr., Pa 18 καὶ PVcAc ὁ Ba μὲν θανάτωι Vc τοὺς παῖδας Ac 19 γίνεται πατὴρ Ba παίδων post γίνεται add. Vc δεύτερος Ac, m.2 Vc, m.po. Ba 20 τοῦ P om. V 21 ⌊τοῦ γ⌉ά⌊μ⌉ου, cr. m.po., Ba 23 καταναγκάζει, σ m.po. add., Ba καταναγκάζηι Ac 24 ἐπαινέτ⌊η

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415494478/81 UNIVERSITÄT LEIPZIG